Burton & Goodspeed # 45: The Centurion’s Servant

| Matthew 8:5-13 | Luke 7:1-10 |
|---|---|
| **Matthew 8:5** | **Luke 7:1** Ἐπειδὴ ἐπλήρωσεν |
| | πάντα τὰ ῥήματα αὐτοῦ |
| | εἰς τὰς ἀκοὰς τοῦ λαοῦ, |
| Εἰσελθόντος δὲ | εἰσῆλθεν |
| αὐτοῦ εἰς Καφαρναοὺμ | εἰς Καφαρναούμ. |
| προσῆλθεν αὐτῷ ἑκατόνταρχος | **2** Ἑκατοντάρχου δέ τινος |
| | δοῦλος κακῶς ἔχων ἤμελλεν |
| | τελευτᾶν, ὃς ἦν αὐτῷ ἔντιμος. |
| | **3** ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ |
| | ἀπέστειλεν πρὸς αὐτὸν πρεσβυτέρους |
| | τῶν Ἰουδαίων |
| παρακαλῶν αὐτὸν **6** καὶ λέγων, | ἐρωτῶν αὐτὸν |
| Κύριε, ὁ παῖς μου βέβληται | ὅπως ἐλθὼν διασώσῃ τὸν δοῦλον |
| ἐν τῇ οἰκίᾳ παραλυτικός, δεινῶς | αὐτοῦ. |
| βασανιζόμενος. | |
| | **4** οἱ δὲ παραγενόμενοι πρὸς τὸν Ἰησοῦν |
| | παρεκάλουν αὐτὸν σπουδαίως λέγοντες ὅτι |
| | Ἄξιός ἐστιν ᾧ παρέξῃ τοῦτο· |
| | **5** ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν καὶ τὴν |
| | συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν. |
| **7** καὶ λέγει αὐτῷ, Ἐγὼ ἐλθὼν | **6** ὁ δὲ Ἰησοῦς ἐπορεύετο σὺν αὐτοῖς. |

| | |
|---|---|
| θεραπεύσω αὐτόν. | ἤδη δὲ αὐτοῦ οὐ μακρὰν |
| | ἀπέχοντος ἀπὸ τῆς οἰκίας |
| **8** καὶ ἀποκριθεὶς | ἔπεμψεν φίλους |
| ὁ ἑκατόνταρχος | ὁ ἑκατοντάρχης |
| ἔφη, | λέγων αὐτῷ, |
| Κύριε, | Κύριε, μὴ σκύλλου, |
| οὐκ εἰμὶ ἱκανὸς | οὐ γὰρ ἱκανός εἰμι |
| ἵνα μου ὑπὸ τὴν στέγην | ἵνα ὑπὸ τὴν στέγην μου |
| εἰσέλθῃς, | εἰσέλθῃς· |
| | **7** διὸ οὐδὲ ἐμαυτὸν ἠξίωσα |
| | πρὸς σὲ ἐλθεῖν· |
| ἀλλὰ μόνον εἰπὲ λόγῳ, | ἀλλὰ εἰπὲ λόγῳ, |
| καὶ ἰαθήσεται ὁ παῖς μου. | καὶ ἰαθήτω ὁ παῖς μου. |
| **9** καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι | **8** καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι |
| ὑπὸ ἐξουσίαν, | ὑπὸ ἐξουσίαν τασσόμενος |
| ἔχων ὑπ’ ἐμαυτὸν στρατιώτας, | ἔχων ὑπ’ ἐμαυτὸν στρατιώτας, |
| καὶ λέγω τούτῳ, Πορεύθητι, | καὶ λέγω τούτῳ, Πορεύθητι, |
| καὶ πορεύεται, | καὶ πορεύεται, |
| καὶ ἄλλῳ, Ἔρχου, καὶ ἔρχεται, | καὶ ἄλλῳ, Ἔρχου, καὶ ἔρχεται, |
| καὶ τῷ δούλῳ μου, | καὶ τῷ δούλῳ μου, |
| Ποίησον τοῦτο, καὶ ποιεῖ. | Ποίησον τοῦτο, καὶ ποιεῖ. |
| **10** ἀκούσας δὲ | **9** ἀκούσας δὲ ταῦτα |
| ὁ Ἰησοῦς ἐθαύμασεν | ὁ Ἰησοῦς ἐθαύμασεν αὐτὸν |
| καὶ εἶπεν τοῖς ἀκολουθοῦσιν, | καὶ στραφεὶς τῷ ἀκολουθοῦντι |

| | |
|---|---|
| | αὐτῷ ὄχλῳ εἶπεν, |
| Ἀμὴν λέγω ὑμῖν, | Λέγω ὑμῖν, |
| παρ’ οὐδενὶ τοσαύτην πίστιν | οὐδὲ ἐν τῷ Ἰσραὴλ |
| ἐν τῷ Ἰσραὴλ εὗρον. | τοσαύτην πίστιν εὗρον. |
| **11** λέγω δὲ ὑμῖν ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν<br>καὶ δυσμῶν ἥξουσιν καὶ ἀνακλιθήσονται<br>μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ<br>βασιλείᾳ τῶν οὐρανῶν, | |
| **12** οἱ δὲ υἱοὶ τῆς βασιλείας<br>ἐκβληθήσονται εἰς τὸ σκότος τὸ<br>ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ<br>βρυγμὸς τῶν ὀδόντων. | |
| **13** καὶ εἶπεν ὁ Ἰησοῦς τῷ ἑκατοντάρχῃ,<br>Ὕπαγε, ὡς ἐπίστευσας γενηθήτω σοι.<br>καὶ ἰάθη ὁ παῖς [αὐτοῦ] ἐν τῇ ὥρᾳ ἐκείνῃ. | |
| | **10** καὶ ὑποστρέψαντες εἰς τὸν<br>οἶκον οἱ πεμφθέντες<br>εὗρον τὸν δοῦλον ὑγιαίνοντα. |

Matthew: 179 – 12 = 167 Luke: 199 – 13 = 186 Identical: 126/353 = 35.69%